# ΕΛΛΗΝΙΚΗ ΕΛΕΓΕΙΑ ΚΑΙ ΙΑΜΒΟΣ

## ΜΙΑ ΕΠΙΛΟΓΗ

## ΑΡΧΙΛΟΧΟΣ 1

εἰμὶ δ’ ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

## ΑΡΧΙΛΟΧΟΣ 2

ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ’ οἶνος
Ἰσμαρικός· πίνω δ’ ἐν δορὶ κεκλιμένος.

## ΑΡΧΙΛΟΧΟΣ 5

ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνωι,
ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων·
αὐτὸν δ’ ἐξεσάωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη;
ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

## ΑΡΧΙΛΟΧΟΣ 13

κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτέ τις ἀστῶν
μεμφόμενος θαλίῃς τέρψεται οὐδὲ πόλις·
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν, οἰδαλέους δ’ ἀμφ’ ὀδύνῃς ἔχομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ’, ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον. ἄλλοτε ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ’, αἱματόεν δ’ ἕλκος ἀναστένομεν,
ἐξαῦτις δ’ ἑτέρους ἐπαμείψεται. ἀλλὰ τάχιστα
τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι.

**Archil. 2** 1 μοι Synes. : τοι *Suda* : om. Athen.
**Archil. 5** 3 αὐτὸν δ’ Hoffmann : αὐτόν μ’ Elias : ψυχὴν δ’ Ar. : αὐτὸς δ’ ἐξέφυγον θανάτου τέλος Sext.
**Archil. 13** 4 ἔκλυσεν Par. 1985 (s. xv) : ἔκλαυσεν S ἀμφ’ ὀδύνῃς ἔχομεν Gaisford : ἀμφ’ ὀδύνῃ ἴσχομεν S 9 ἑτέρους Frobenius : ἑταίρους S

## ΑΡΧΙΛΟΧΟΣ 17A SWIFT

]ι̣ ῥ̣[ο]ῆ̣ι[ς
εἰ δὲ] . [. . . . ] . [.]. . θεοῦ κρατερῆ̣[ς ὑπ’ ἀνάγκης,
οὐ δεῖ ἀν]α̣λ̣[κείη]ν̣ κ̣αὶ κακότητα λέγει̣[ν.
]ημ̣ . . . [ . . εἵμ̣]εθ’ ἄρ̣[η]α φυγεῖν· φεύγ[ειν δέ τις ὥρη·
κ̣α̣ί π̣οτ̣[ε μ]οῦνος ἐ̣ὼ̣ν̣ Τήλεφος Ἀ̣ρκα̣[σίδης
Ἀργείων ἐφόβησε πολὺν στρατ̣[όν,] ο̣[ὐδ’ ἔτι μεῖναν
ἄ̣λκι̣μ̣[οι,] – ἦ̣ τ̣όσα δὴ μοῖρα θεῶν ἐ̣φόβε̣ι̣ –
αἰχμητ̣αί̣ περ̣ ἐόντε[ς.] ἐϋρρείτης δὲ Κ[άϊκος
π]ι̣π̣τ̣ό̣ντων νεκύων στείνετ̣ο καὶ [πεδίον
Μ̣ύσι̣ο̣ν̣, οἱ̣ δ’ ἐπὶ θῖ̣ν̣α̣ πολυφλο̣ίσβοι[ο θαλάσσης
χέρσ’] ὑπ’ ἀμειλίκτου φωτὸς ἐναιρό[μενοι
προ]τ̣ροπάδην ἀπ̣έ̣κλινον ἐϋκ̣νήμ̣[ιδες ’Αχαιοί·
ἀ]σ̣πάσιοι δ’ ἐς νέας ὠ[κ]υ̣π̣όρ[ο]υ̣ς̣ [ἔφυγον
π̣αῖδές τ’ ἀ̣θανάτων κ̣α̣ὶ̣ ἀδελφεο̣ί̣, [οὓς Ἀγαμέμνων
Ἴλιον εἰς ἱερὴν ἦγε μαχησομένο̣[υς·
ο]ἱ̣ δὲ τότ̣ε̣ β̣λαφθέντες ὁδοῦ παρὰ θ[ῖν’ ἀφίκοντο,
Τε]ύθραντος δ̣’ ἐ̣ρατὴν πρὸς πόλιν [εἰσανέβαν,
ἔ]ν̣θ̣α̣ [μ]έ̣ν̣ο̣ς πνείοντ̣ε̣ς̣ ὅμως αὐτ̣ο̣[ί τε δάμησαν
κὰ]φ̣ρ̣[αδί]ηι μεγάλως θυμὸν ἀκηχ̣έ̣[δατο·
φ]ά̣ν[το] γὰρ ὑψίπ̣υλον Τρώων πόλιν̣ εἰσ[αναβαίνειν
αὐ]τ̣ί̣κ̣[α]· γῆ̣ν̣ δ’ ἐπάτευν Μυσίδα πυροφόρο̣[ν.
Ἡρακλ]έ̣ης̣ δ̣’ ἤ̣ντησ̣[ε], βοῶ̣ν̣ ταλ̣[α]κάρδιον [υιόν,
οὖ]ρον ἀ̣μ̣[ε]ίλ̣ι̣κ̣[τον] δηΐωι ἐν [πολ]έ̣μ̣[ωι,
Τ]ήλεφον, ὃς Δ̣α̣ν̣α̣οῖσι κακὴ̣ν̣ [τ]ό[τε φύζαν ἐνόρσας
ἤ]ρ̣ειδ̣ε [πρό]μαχος̣, πατρὶ χαριζόμ̣[ενος.
. . .] . . . . . . . . . [.] . . . . .[
. . .] . [.] . . . [ . . . . . .] . . [
. . . ] . . . . [. . . . . . ] . θα . [

**Archil. 17A** suppl. Obbink exceptis quae infra memorantur 1 ]ι̣ ῥ̣[ο]ῆ̣ι[ς Swift 2 εἰ δὲ] West κρατερῆ̣[ς ὑπ’ ἀνάγκης Henry 3 οὐ δεῖ ἀν]α̣λ̣[κείη]ν̣ West 4 West 5 κ̣α̣ί π̣οτ̣[ε μ]οῦνος ἐ̣ὼ̣ν̣ West 6 ο̣[ὐδ’ ἔτι μεῖναν Magnelli 8 αἰχμητ̣αί̣ et ἐόντε[ς.] Parsons περ̣ Janko 9 [πεδίον West 10 Μ̣ύσι̣ο̣ν̣ West 11 χέρσ’] West 13 [ἔφυγον West 16 θ[ῖν’ ἀφίκοντο Janko 17 [εἰσανέβαν West 18 ἔ]ν̣θ̣α̣ Janko αὐτ̣ο̣[ί τε δάμησαν D’Alessio 19 κὰ]φ̣ρ̣[αδί]ηι D’Alessio 20 φ]ά̣ν[το] West 21 αὐ]τ̣ί̣κ̣[α]· γῆ̣ν̣ Burzacchini 22 ἤ̣ντησ̣[ε] West 23 οὖ]ρον ἀ̣μ̣[ε]ίλ̣ι̣κ̣[τον] West 24 ὃς Δ̣α̣ν̣α̣οῖσι Janko [τ]ό̣[τε φύζαν ἐνόρσας West 25 ἤ]ρ̣ειδ̣ε [πρό]μαχος̣ D’Alessio

## ΑΡΧΙΛΟΧΟΣ 19

“οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ’ εἷλέ πώ με ζῆλος, οὐδ’ ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ’ οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.”

## ΑΡΧΙΛΟΧΟΣ 42

ὥσπερ αὐλῶι βρῦτον ἢ Θρέϊξ ἀνὴρ
ἢ Φρὺξ ἔμυζε· κύβδα δ’ ἦν πονεομένη.

## ΑΡΧΙΛΟΧΟΣ 43

ἡ δέ οἱ σάθη
× – ᴗ – × ὥστ’ ὄνου Πριηνέως
κήλωνος ἐπλήμυρεν ὀτρυγηφάγου.

## ΑΡΧΙΛΟΧΟΣ 114

οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ’ ὑπεξυρημένον,
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσί, καρδίης πλέως.

## ΑΡΧΙΛΟΧΟΣ 172

πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;
τίς σὰς παρήειρε φρένας
ἧις τὸ πρὶν ἠρήρεισθα; νῦν δὲ δὴ πολὺς
ἀστοῖσι φαίνεαι γέλως.

## ΑΡΧΙΛΟΧΟΣ 173

ὅρκον δ’ ἐνοσφίσθης μέγαν
ἅλας τε καὶ τράπεζαν.

**Archil. 42** 2 ἔμυζε Wilamowitz : ἔβρυζε cod.
**Archil. 43** 1 ἡ δέ οἱ Schneidewin : οἱ δέ οἱ *Et. Gud.* 3 ἐπλήμυρεν Bergk : ἐπλήμυρον Eust.
**Archil. 114** 1 διαπεπλιγμένον Hemsterhuys : -πεπλεγμένον Dio : -πεπηγμένον Gal.

## ΑΡΧΙΛΟΧΟΣ 174

  αἶνός τις ἀνθρώπων ὅδε,
ὡς ἆρ’ ἀλώπηξ καἰετὸς ξυνεωνίην
  ἔμειξαν …

## ΑΡΧΙΛΟΧΟΣ 175

× – ᴗ ἐς παῖ]δ̣α̣ς φέρων
          δαῖ]τ̣α δ̣’ οὐ καλὴν ἐπ[ὶ
ὥρμησαν ἀπτ]ῆνες δύο
× – ᴗ – × ]. γῆ[ς] ἐφ’ ὑ̣ψηλῶι π̣[άγωι
× – ᴗ – ]νεοσσιῆι
× – ᴗ – ]προύθηκ̣ε̣, τ̣ὴν δ̣[’ ἀλώπεκα
× – ᴗ – ].εχο.[ ᴗ –
× – ᴗ – ]α̣δε̣..[ ᴗ – × – ᴗ –
× – ᴗ – × ]φωλ̣ά̣[δ –

## ΑΡΧΙΛΟΧΟΣ 176

ὁρᾶις ἵν’ ἐστὶ κεῖνος ὑψηλὸς πάγος,
  τρηχύς τε καὶ παλίγκοτος;
ἐν τῶι κάθηται, σὴν ἐλαφρίζων μάχην.

## ΑΡΧΙΛΟΧΟΣ 177

ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,
  σὺ δ’ ἔργ’ ἐπ’ ἀνθρώπων ὁρᾶις
λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων
  ὕβρις τε καὶ δίκη μέλει.

## ΑΡΧΙΛΟΧΟΣ 178

μή τευ μελαμπύγου τύχηις.

## ΑΡΧΙΛΟΧΟΣ 179

προύθηκε παισὶ δεῖπνον αἰηνὲς φέρων.

**Archil. 175** suppl. Lobel 1 Lasserre 2 δαῖ]τ̣α Lasserre 3 ὥρμησαν West ἀπτ]ῆνες Lobel 6 δ̣[’ ἀλώπεκα West 9 φωλ̣ά̣[δ West
**Archil. 177** 3 καὶ θεμιστά Matthiae : κἀθέμιστα fere test.

# ΕΛΛΗΝΙΚΗ ΛΥΡΙΚΗ ΠΟΙΗΣΗ

## ΜΙΑ ΕΠΙΛΟΓΗ

## ΑΛΚΜΑΝΑΣ 1 *PMG* (3 Σ)

× – ∪ ∪ ] Π̣ωλυδεύκης.
οὐκ ἐγὼ]ν Λύκαισον ἐν καμοῦσιν ἀλέγω
– Ἐνα]ρσφόρον τε καὶ Σέβρον ποδώκη
– ∪ – ]ν τε τὸν βιατὰν
– ∪ – ] . τε τὸν κορυστάν
Εὐτείχ]η τε ϝάνακτά τ’ Ἀρήϊον
– ∪ ]ά τ’ ἔξοχον ἡμισίων

– ∪ – ]ν τὸν ἀγρόταν
× – ] μέγαν Εὔρυτόν τε
– ∪ – ]πώρω κλόνον
× – ]ạ́ τε τὼς ἀρίστως
– ∪ – ] παρήσομες.
× – ∪ γ]ạ̀ρ Αἶσα παντῶν
καὶ Πόρος] γεραιτάτοι
× – ∪ -π]έδιλος ἀλκά.
– ∪ ἀν]θ̣ρώπων ἐς ὠρανὸν ποτήσθω
– ∪ πη]ρήτω γαμὲν τὰν Ἀφροδίταν
– ∪ – ϝ]ạ́νạσσαν ἤ τιν’
– ∪ – ] ἢ παίδα Π̣ό̣ρ̣κω
– ⏑⏑ – Χά]ριτες δὲ Διὸς δό̣μον
– ⏑⏑ – ]σ̣ιν ἐρογλεφάροι

– ∪ – × – ]τάτοι
× – ∪ ∪ – ]τ̣α δαίμων
– ∪ – × ]ι φίλοις
× – ∪ ∪ ]ωκε δῶρα
– ∪ – × ] . γαρεον
× – ∪ ∪ ]ώ̣λεσ̣’ ἥβα
– ∪ – × – ]ρ̣ονον
× – ∪ ∪ – μ]ạταίας

**Alcm. 1** suppl. et corr. Blass exceptis quae infra memorantur 2 Blass ex Σ Pind. *Ol.* 3 Egger in init. οὔτ’ Snell, ἀλλ’ Bergk 6 Ahrens ex *Epim. Hom.* 8 ἀγρέταν Ahrens 12 οὐ] Ahrens 13 Ten Brink 15 Ahrens : ἀπ]έδιλος Blass 16 μήτις ἀν] Blass 17 μηδὲ πει] Blass 20 Egger

– ∪ – × – ]έβα. τῶν δ’ ἄλλος ἰῶι
– ∪ – × – ∪ ] μαρμάρωι μυλάκρωι
– ∪ – × – ] ̣ εν Ἄιδας
– ∪ – × – ∪ ]αυτοι
– ∪∪ – ∪ ∪ – ]πον. ἄλαστα δὲ
ϝέργα πάσον κακὰ μησαμένοι.

ἔστι τις σιῶν τίσις·
ο δ’ ὄ̣λ̣βιος ὅστις εὔφρων
ἁμέραν [δι]απλέκει
ἄκλαυ̣στος. ἐγὼν δ’ ἀείδω
Ἀγιδῶ̣ς τὸ φῶς· ὁρῶ
ϝ’ ὥτ’ ἅλιον, ὅνπερ ἇμιν
Ἀγιδὼ μαρτύρεται
φαίνην. ἐμὲ δ’ οὔτ’ ἐπαινῆν
οὔτε μωμέσθαι νιν ἁ κλεννὰ χοραγός
οὐδ’ ἁμῶς ἐῆι. δοκεῖ γὰρ ἤμεν αὐτά
ἐκπρεπὴς τὼς ὥπερ αἴ τις
ἐν βοτοῖς στάσειεν ἵππον
παγὸν ἀεθλοφόρον καναχάποδα
τῶν ὑποπετριδίων ὀνείρων.

ἦ οὐχ ὁρῆις; ὁ μὲν κέλης
Ἐνητικός· ἁ δὲ χαίτα
τᾶς ἐμᾶς ἀνεψιᾶς
Ἀγησιχόρας ἐπανθεῖ
χρυσὸς ῷ̣ς ἀκήρατος·
τότ’ ἀργύριον πρόσωπον,
διαφάδαν τί τοι λέγω;
Ἀγησιχόρα μὲν αὕτα·
ἁ δὲ δευτέρα πεδ’ Ἀγιδὼ τὸ ϝεῖδος
ἵππος Ἰβηνῶι Κολαξαῖος δραμείται.
ταὶ Πελειάδες γὰρ ἇμιν
Ὀρθρίαι φᾶρος φεροίσαις
νύκτα δι’ ἀμβροσίαν ἅτε Σείριον
ἄστρον ἀϝειρομέναι μάχονται.

38 Bergk 39 ἄκλαυτος Sitzler 40-1 quidam ὁρῶ|σ’, alii ὁρῶ | ἐ leg. 45 αὔτα Fowler
61 Ὀρθρίαι : ὀρθρίαι (nom. pl.) quidam editores, ὀρθίαι ΣA, Ϝορθείαι Davison

οὔτε γάρ τι πορφύρας
τόσσος κόρος ὥστ' ἀμύναι,
οὔτε ποικίλος δράκων
παγχρύσιος, οὐδὲ μίτρα
Λυδία, νεανίδων
ϝιανογ[λ]εφάρων ἄγαλμα,
οὐδὲ ταὶ Ναννῶς κόμαι,
ἀλλ' οὐ[δ]' Ἀρέτα σιειδής,
οὐδὲ Συλ̣α̣κίς̣ τε καὶ Κλεησισήρα.
οὐδ' ἐς Αἰ̣νησιμβρ[ό]τας ἐνθοῖσα φασεῖς,
"Ἀσταφίς ṭέ μ̣οι γένοιτο,
  καὶ ποτιγλ̣έποι Φί̣λυλλα
Δαμαρ̣έτα τ' ἐρατά [τ]ε Ϝιανθεμίς"·
  ἀλλ' Ἀγησιχόρα με τείρει.

οὐ γὰρ ἁ κ̣α̣λλίσφυρος
Ἀγησιχ[ό]ρ̣[α] πάρ' αὐτεῖ·
Ἀγιδοῖ . ε̣ . . αρμένει
θωστήρ̣ι̣ά̣ [τ'] ἅμ' ἐπαινεῖ.
ἀλλὰ τᾶν . . . . . σ̣ιοί
δέξασθε· σ̣ι̣ῶ̣ν γὰρ ἄνα
καὶ τέλος. [χο]ρ̣ο̣στάτις,
ϝείποιμί κ', ἐ̣γ̣ὼν μὲν αὐτά
παρσένος μάταν ἀπ̣ὸ̣ θ̣ράνω λέλακα
γλαύξ· ἐγὼ̣ν̣ δὲ τᾶι μὲν Ἀώτι μάλιστα
ϝανδάνην ἐρῶ· πόνων γὰρ
  ἅ̄μιν ἰάτωρ ἔγεντο·
ἐξ Ἀγησιχόρα̣ς̣ δὲ νεάνιδες
  ἰρ]ή̣νας ἐρατᾶ̣ς ἐπέβαν.

τῶ]ι τε γὰρ σηρ̣α̣φ̣ό̣ρωι
. [ ]τῶς εδ . . . . . . . . . . . . .
τῶ̣ι κυβερνάται δὲ χ̣ρ̣ή
κὴ̣ν νᾶϊ μα . . . . . . . . . . . .
ἁ δὲ τᾶν Σηρηνί̣δ̣ων
ἀοιδοτέρα μὲ̣ν̣ . . . .

77 Π, ΣΒ : τηρεῖ quidam editores 79 Ten Brink 91 Page 93 α̣[ὐ]τῶς Blass 97 α̣ὐ̣δ̣ά̣ Von der Mühll, ο̣ὐ̣δ̣έ̣ν̣ Page

σιαὶ γάρ, ἀντὶ̣ δ̣’ ἕ̣ν̣δ̣ε̣κ̣α̣
παίδων δε̣κ . . . . . . . . . . ει·
φθέγγεται δ . . . . ἐ̣π̣ὶ̣ Ξάνθω ῥοαῖσι̣
κύκνος· ἁ δ’ ἐπ̣ιμέρωι ξανθᾶι κομίσκαι

## ΑΛΚΜΑΝΑΣ 89 PMG ( 159 CALAME)

εὕδουσι δ’ ὀρέων κορυφαί τε καὶ φάραγγες
πρώονές τε καὶ χαράδραι
†φῦλά τε ἑρπετά θ’† ὅσα τρέφει μέλαινα γαῖα
θῆρές τ’ ὀρεσκῷοι καὶ γένος μελισσῶν
καὶ κνώδαλ’ ἐν βένθεσι πορφυρῆς ἁλός·
εὕδουσι δ’ οἰωνῶν φῦλα τανυπτερύγων.

## ΑΛΚΑΙΟΣ 42 VOIGT

ὠς λόγος κάκων ἀ[ ᴗ – ᴗ – –
Περράμω<ι> καὶ παῖσ[ι ᴗ – ᴗ – –
ἐκ σέθεν πίκρον, π[ᴗ ᴗ – ᴗ – ×
  Ἴλιον ἴραν.

οὐ τεαύταν Αἰακίδα̣ι̣[ς ᴗ – –
πάντας ἐς γάμον μάκ̣[αρας ᴗ – –
ἄγετ’ ἐκ Νή[ρ]ηος ἔλων [μελάθρων
  πάρθενον ἄβραν

ἐς δόμον Χέρρωνος· ἔλ[υσε δ’ – –
ζῶμα παρθένω· φιλο[ – ᴗ – –
Πήλεος καὶ Νηρεΐδων ἀρίστ[ας·
  ἐς δ’ ἐνίαυτον

παῖδα γέννατ’ αἰμιθέων [ ᴗ – –
ὄλβιον ξάνθαν ἐλάτη[ρα πώλων·
οἰ δ’ ἀπώλοντ’ ἀμφ’ Ἐ[λέναι ᴗ – ×
  καὶ πόλις αὔτων.

99 αε̣κ̣ Π, δε̣κ̣ὰ̣ς̣ ο̣ἷ̣’ (ἅ̣δ̣ ’ Wilamowitz, ὡ̣ς̣ Puelma) ἀ̣ε̣ί̣δ̣ει Blass 105 coronis
**Alcm. 89** 3 φῦλά θ’ ἑρπετῶν ὅσα fere D’Ansse de Villoison, φῦλά τ’ ἑρπέτ’ ὅσα Page, ἑρπετά θ’ ὅσσα (del. φῦλά τε) West 5 βένθεσ<σ>ι Welcker, Bergk
**Alc. 42** suppl. Hunt 6 in fin. [καλέσσαις Hunt 10 [τας δέ Hunt 13 [φέριστον Diehl 16 coronis

# ΑΛΚΑΙΟΣ 129 VOIGT

× –   ∪  ] –  ρατ̣α τόδε Λέσβιοι
× – ] . . ∪̣   ς̣  εὔδειλ̣ον τέμενος μέγα
ξῦνον κάτ̣ε̣σσαν· ἐν δὲ βώμοις
  ἀθανάτων μακάρων ἔθηκαν,

κἀπωνύμασσαν ἀντίαον Δία,
σὲ δ’ Αἰολήιαν κυδαλίμαν θέον
πάντων γενέθλαν, τὸν δὲ τέρτον
  τόνδε κεμήλιον ὠνύμασ̣σ̣[α]ν

Ζόννυσσον ὠμήσταν. ἄγ̣[ι]τ̣’ εὔνοον
θῦμον σκέθοντ̣ες ἀμμετ̣έρ̣α̣[ς] ἄρας
ἀκούσατ’, ἐκ δὲ τῶνδε μόχ̣θ̣ων
ἀργαλέας τε φύγας ῤ[ύεσθε·

τὸν Υ̓́ρραον δὲ παῖ̣δ̣α πεδελθέ̣τ̣ω̣
κήνων Ἐρ̣[ίνν]υ̣ς, ὤς ποτ’ ἀπώμνυμεν
τόμοντες ἄ̣  φ̣ [         ̣́ ]ν̣ . ν̣
  μηδάμα μηδένα τῶν ἐταίρ̣ων,

ἀλλ’ ἢ θάνοντες γᾶν ἐπιέμμεν̣οι
κείσεσθ’ ὐπ’ ἄνδρων οἲ τότ’ ἐπικ̣ ̣́η̣ ν,
ἤπειτα κακκτάνοντες αὔτοις
  δᾶμ̣ον ὐπὲξ ἀχέων ῤύεσθαι.

κήνων ὀ φύσγων οὐ διελέξατο
π̣ρὸς θῦμον, ἀλλὰ βραϊδίως πόσιν
ἔ]μβαις ἐπ’ ὀρκίοισι δάπτει
  τ̣ὰν πόλιν ἄμμι δ̣έ̣δ̣ [.] . . [.] ε̣ίπ̣αις

οὐ κὰν νόμον [. .] . . ε̣ .  [      ] ̣́[ ]
γλαύκας ἀ[ – × – ∪ ∪ – ∪ –
γεγρα . [ ∪ – × – ∪ – ×
  Μύρσι̣λ̣[ο – ∪ ∪ – ∪ – –

**Alc. 129** suppl. Lobel 12 ρ[ Π[1] : σ̣[ Π[1] supra lineam 15 ἄμ̣φ̣[εν- Lobel 26 Ἀ[θανάας Diehl

## ΑΛΚΑΙΟΣ 130 B VOIGT

ἄγνο{ι̣}ς  τ̣ο̣ὶ̣ς̣ βιότοις  . . ις ὀ τάλαις ἔγω
ζώω μοῖραν ἔχων ἀγροϊωτίκαν,
ἰμέρρων ἀγόρ̣ας ἄκουσαι
καρυ̣[ζ]ο̣μένας̣ ὦ Ἀγεσιλαΐδα

καὶ β̣[ό]λ̣λας· τὰ πάτηρ καὶ πάτερος πάτηρ
καγγ̣ε̣γ̣ήρασ' ἔχοντες πεδὰ τωνδέων
τὼν̣ ἀ̣λλαλοκάκων πολίταν·
ἔγω̣ [δ'] ἀ̣πὺ τούτων ἀπελήλαμαι

φεύ̣γ̣ων ἐσχατίαισ'· ὠς δ' Ὀνυμακλέης
Ὠθάναος ἐοίκησ' ἀλυκαιχμίαις,
φεύγων τὸν π̣όλεμον· στάσιν γάρ
πρὸς κρ̣ [ . . . . ]ς †οὐκ ἄμεινον† ὀννέλην;

. ] . [ . . . ]τ̣ [ . . ]. μακάρων ἐς τέμ[ε]νος θέων
ἐοί̣κ̣η̣σ̣ [α] μ̣ε̣λ̣αίνας ἐπίβαις χθόνος
. λι̣[ × – ] . συνόδοισι ταύταις
οἴκημι κά̣κων ἔκτος ἔχων πόδας,

ὄππαι Λε̣[σβί]αδες κριννόμεναι φύαν
πώλεντ̣' ἐ̣λ̣κεσίπεπλοι, περὶ δὲ βρέμει
ἄχω θεσπεσία γυναίκων
ἴρα̣[ς ὀ]λολύγας ἐνιαυσίας

× × - ]. ἀπ̣ὺ πόλλω̣ν πότα δὴ θέοι
] . [ ´] σ̣κ̣ . . . ν̣ . . . πιοι
] . . . . . .
.ν̣α̣ [ ] . . . μεν.

## ΑΛΚΑΙΟΣ 140 VOIGT

μαρμαίρει δὲ μέγας δόμος
  χάλκωι. παῖσα δ' Ἄρηι κεκόσμηται στέγα

**Alc. 130b** suppl. Lobel 1 ἄγνο{ι̣}ς uel ἄγνοις Π 8 Gallavotti : ἔγω̣ [γ'] Page 10 -κησ' ἀλυκ- diu. Porro, -κησα λυκ- multi 12 interrog. notam dub. add. Ferrari (ὀννέλην· Π) 15 Π$^{ac}$ : μ' αὔταις Π$^{pc}$, -σιν αὔταις dub. Page 22 in fin. Ὀ̣λ̣ύ̣μ̣πιοι Lobel 24 coronis